κει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου·
καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις, τοῦθ᾽ εὕροι.
Κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέ-
πτων ἢ λωποδυτῶν ἢ βαλαντιοτομῶν ἢ τοιχωρυχῶν
ἢ ἀνδραποδιζόμενος ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν
ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖ-
χεν. Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς 63
συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου
κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. Οὐδὲ μὴν ἰδίᾳ
γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέ-
ρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ᾽ οὐδ᾽ αἰτίαν τῶν
εἰρημένων οὐδενὸς πώποτ᾽ ἔσχε. Πῶς οὖν ἔνοχος ἂν 64
εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεοὺς (ὡς
ἐν τῇ γραφῇ ἐγέγραπτο), φανερὸς ἦν θεραπεύων τοὺς
θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ
διαφθείρειν τοὺς νέους (ὃ δὴ ὁ γραψάμενος αὐτὸν ἠτιᾶ-
το), φανερὸς ἦν, τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυ-
μίας ἔχοντας, τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ
μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἴκους
εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα δὲ πράττων,
πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

λωποδυτῶν] Intelligit fures balneatorios, a quibus non ſatis caveri poterat. Morte plectebantur Athenis λωποδῦται, ſi rei furto ablatae aeſtimatio decem drachmas excederet, auctore Demoſth. contra Timocr., cuius locum laudavit Caſ. ad Theophr. Char. VIII, *Hindeb.*

ἀνδραποδιζόμενος] Idem eſt qui alibi dicitur ἀνδραποδιστής. Schol. ad Ariſt. Plut. ἀνδραποδιστὴς οὐ μόνον τοὺς ἐλευθέρους δι᾽ ἀπάτης ἀπάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτὸν, ἐπὶ τῷ ἀπαγαγεῖν ἀλλαχοῦ καὶ διαπωλῆσαι. Vtrique morte plectebantur Athenis. *Hindeb.*

τούτοις] Retulerim ad facinora, non ad hominem, qui ea perpetravit: quo et refertur mox ὧν. *Ern.*

§. 63. πώποτε αἴτιος] Cod. Pariſ. 1 πώποτε τῇ πόλει αἴτιος.

§. 64. ὡς ἐν τῇ γρ. ἐγ.] Erneſtus quidem ait, *hanc parentheſin abeſſe ed. pr.* Sed in meis libris omnibus adeſt, eſtque expreſſa a Beſſarione. Deinceps Pariſ. 1 μάλιστα πάντων ἀνθρώπων.

ὃ δὴ ὁ γραψ.] In Iunt. deeſt δὴ: et in edd. Hal., Caſt., et Bryl. eſt ὁ διαγραψάμενος, vitioſe.

οἴκους] Leonclauius legendum eſſe οἶκοι cenſet. male.